Συνοδικόν συγγίλλιον πρός ἐπισύστασιν κοινῆς Σχολῆς τῶν Ἑλληνικῶν μαθημάτων, καί ἑτέρα τῶν ἱερῶν Ἐκκλησιαστικῶν ἡμῶν μαθημάτων ὑπό τοῦ ρουφετίου τῶν γουναράδων προστατευομένων ὑπό τοῦ εὐσεβεστάτου αὐθέντου καί ἡγεμόνος πάσης οὐγγροβλαχίας κυρίου Ἀλεξάνδρου μουρούζη βοεβόδα ἐν ἔτει σωτηρίῳ 1799 ἐπί Μητροπολίτου Σηλυβρίας Καλλινίκου καί Πατριάρχου Νεοφύτου

Κώδ. Μητροπόλεως Σηλυβρίας
Κώδ. 416
Σαριπ. Αλεξανδρ. Αθηνα,
σ. 47-49

1799

+ Νεόφυτος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κων/πόλεως νέας Ρώμης καί Οἰκουμενικός Πατριάρχης.

Διατεθρύλληται μέν πολλοῖς πολλάκις ὅσα τά τῆς παιδείας ἀγαθά, αὕτη καί γάρ ἡμῖν τήν τοῦ ἀγαθοῦ καί φαύλου διάκρισιν περιποιεῖ, τά μέν ἑλέσθαι, τά δέ φυγεῖν παραινοῦσα, ὑπ' αὐτῆς τά ἤθη κοσμούμεθα, ἐπαινετούς ἡμᾶς αὐτούς παρεχόμενοι, αὕτη πῶς οἰκονομητέον, πῶς πολιτικοῖς χρηστέον πράγμασι, καί μύρι' ἄλλα συμφέροντα τῷ ἀνθρωπίνῳ βίῳ ἐκδιδάσκει τούς μετειληφότας, καί τῇ ψυχῇ οἷον κάλλιστον περιτίθησι κόσμον, τήν γνῶσιν τῆς ἀληθείας αὐτῇ περιποιοῦσα, καί τόν ἄνθρωπον, εἰ δυνατόν, ὅμοιον θεῷ ἀποφαίνουσα. διά ταῦτα καί ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία, ὅταν κατίδῃ πόθον ἔνθεον τινῶν εἰς σύστασιν κοινῆς σχολῆς πρός διδασκαλίαν τοῦ τοιούτου θείου τῷ ὄντι χρήματος δεομένων τῆς παρ' αὐτῆς ἀντιλήψεως πρός εὐστάθειαν καί διαμονήν, προθύμως πάνυ καί ἀφθόνως ἐπιδαψιλεύεται αὐτοῖς τήν ἀντίληψιν. Ἐπειδή τοίνυν καί ἐν τῇ πολιτείᾳ σηλυβρίας δι' ἐπιμελείας καί συντόνου ἐπιστασίας τοῦ κατά τόπον ἐκεῖ ἀρχιερέως Ἱερωτάτου μητροπολίτου σηλυβρίας, καί ὑπερτίμου ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καί συλλειτουργοῦ κύρ καλλινίκου, καί συνδρομῆς καί καταβολῆς τῆς τε αὐτοῦ Ἱερότητος, καί τῶν ἐπαρχιωτῶν αὐτοῦ εὐλογημένων χριστιανῶν συνεστήθη κοινή σχολή τῶν ἑλληνικῶν μαθημάτων, καί ἑτέρα τῶν ἱερῶν ἐκκλησιαστικῶν ἡμῶν γραμμάτων, αἵτινες ἀμφότεραι ἐτέθησαν ἐν ἀρίστῃ διοικήσει, ἔχουσαι τά ἀναγκαῖα αὐτῶν ἐκ τῆς ἐξ ἐράνου καταβολῆς τῶν ἄσπρων, συμποσωθέντων εἰς ἕξ χιλιάδας, καί τετρακόσια ἐννενήκοντα πέντε γρόσια ἐν οἷς ἐστί καί ἡ παρά τῆς αὐτόθι ἐκκλησίας δοθεῖσα ποσότης τῶν πέντε χιλιάδων, ἅτινα ἐτέθησαν εἰς ἀσφαλῆ μέρη ἐπί συμπεφωνημένῳ τόκῳ κατά

τό ἐμφανισθὲν ἡμῖν συνοδικῶς καταστρωθέν ἐνυπόγραφον παρά τῆς αὐτοῦ Ἱερότητος ἐπιβεβαιωμένον κατάστιχον, ὅπως ὁ ἐκ τούτων ἐτήσιος τόκος μετά τῶν ἑκατόν γροσίων τῶν διορισθέντων δι᾽ἐκλάμπρου αὐθεντικοῦ χρυσοβούλλου τοῦ εὐσεβεστάτου καί ὑψηλοτάτου αὐθέντου καί ἡγεμόνος πάσης οὐγγροβλαχίας μεγαλοπρεπεστάτου καί ἡμετέρου κατά πνεῦμα καί οὗ λίαν ἀγαπητοῦ καί περιποθήτου κυρίου κυρίου Ἀλεξάνδρου μουρούζη βοεβόδα διδῶται εἰς χρείας καί ἀνάγκας τῆς σχολῆς, λαμβάνῃ δέ ἐκ τούτων ὁ διδάσκαλος τῆς κοινῆς ταύτης σχολῆς τῶν Ἑλληνικῶν μαθημάτων τόν διωρισμένον ἐτήσιον αὐτοῦ μισθόν , καί ὁ παιδαγωγός τῆς ἑτέρας σχολῆς τῶν Ἱερῶν Ἐκκλησιαστικῶν ἡμῶν γραμμάτων παρά τῶν διωρισμένων ἐν αὐταῖς ἐπιτρόπων, ὡς ταῦτα ἐβεβαιώθησαν ἀπό κοινῶν ἐνυπογράφων αὐτῶν γραμμάτων, κατά κοινήν διαπαράκλησιν αὐτῶν ἐπετέτραπτο ἡ προστασία καί ἡ διοίκησις ἀμφοτέρων τούτων τῶν σχολῶν τῇ κατ᾽ ἔνθεον ζῆλον καί προστασίᾳ καί ἐπιμελείᾳ τοῦ εὐλογημένου ρουφετίου τῶν γουναράδων, ἐφορεύοντος ἀείποτε καί τοῦ κατά τόπον ἀρχιερέως Ἱερωτάτου μητροπολίτου σηλυβρίας. Πρός διαμονήν τούν καί ἐπιστασίαν τῶν ρηθέντων σχολείων, καί τῆς καταβληθείσης ἐπ᾽ αὐτοῖς εἰρημένης ποσότητος τῶν ἄσπρων ἀπό κοινοῦ ἐράνου καί βοηθείας, ἐδεήθησαν κοινῶς ἐπικυρωθῆναι εἰς διηνεκῆ τήν ἀσφάλειαν δι᾽ἡμετέρου πατριαρχικοῦ καί συνοδικοῦ συγγιλλώδους γράμματος. Τούτου χάριν εὐμενῶς προσδεχάμενοι τήν κοινήν ἔνθερμον αὐτῶν ταύτην αἴτησιν ὡς θεάρεστον καί κοινωφελῆ γράφοντες ~~ἀποφαινόμεθα~~ ἀποφαινόμεθα συνοδικῶς μετά τῶν περί ἡμᾶς Ἱερωτάτων ἀρχιερέων καί ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καί συλλειτουργῶν, ἵνα αἱ ρηθεῖσαι αὗται σχολαί ἡ κοινή τῶν Ἑλληνικῶν μαθημάτων, καί ἡ ἑτέρα τῶν Ἱερῶν γραμμάτων ἔχωσιν ἀείποτε τό κῦρος καί τήν ἀσφάλειαν, παραπλησίως δέ καί ἡ καταβληθεῖσα ἐπ᾽ αὐταῖς ποσότης τῶν ἄσπρων τῶν πέντε χιλιάδων δηλονότι γροσίων, τῶν ἀφιερωθέντων παρά τῆς αὐτόθι Ἐκκλησίας, καί τῶν ἑτέρων χιλίων τῶν ~~δωρισθέντων~~ διορισθέντων παρά τῆς εὐσεβεστάτης αὐτοῦ ὑψηλότητος ὡς διείληπται δι᾽ ἐκλάμπρου αὐθεντικοῦ χρυσοβούλλου δίδοσθαι ἕνεκεν τούτων ~~τούτων~~ ἐτησίως ἑκατόν γρόσια ἀπό τῶν αὐθεντικῶν βαμμάτων, καί τῶν λοιπῶν τῶν ἀφιερωθέντων

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

παρά τῶν εὐσεβῶν αὐτόθι φιλομούσων χριστιανῶν, μηδενός ἔχοντος ποτε διασεῖσαι ἤ ἀποξενῶσαι μέχρι καί ὀβολοῦ ἀπ᾽ αὐτῶν, ἤ ὅλως μετακινῆσαι, ἀλλ᾽ ὑπό μόνου τοῦ εὐλογημένου ρουφετίου τῶν γουναράδων ἔχωσι διεξάγεσθαι καί οἰκονομεῖσθαι τά ἐπ᾽ αὐτοῖς καταβληθέντα καί ἀφιερωθέντα ἄσπρα, καί τῶν ἐτησίων τόκων δίδοσθαι τῷ διδασκάλῳ τῆς κοινῆς σχολῆς τῶν Ἑλληνικῶν μαθημάτων, καί τῷ παιδαγωγῷ τῆς ἑτέρας τούς διωρισμένους ἐτησίους αὐτῶν μισθούς, γίνεσθαι δέ καί τά ἀναγκαῖα δαπανήματα αὐτῶν τῶν σχολῶν, ἐφορεύοντος τοῦ κατά καιρόν Ἱερωτάτου μητροπολίτου Σηλυβρίας, διορίζεσθαι δέ καί ἕνα ἐπίτροπον παρά τε τῆς αὐτοῦ Ἱερότητος, καί τοῦ εὐλογημένου ρουφετίου τῶν γουναράδων ὅστις ἄν ἐγκριθείη ἄξιος, ἐπί τῷ ἐπιστατεῖν προθύμως πρός ἀρίστην διοίκησιν αὐτῶν, καί συνάγειν μετ᾽ ἐπιμελείας τά τῶν σχολείων ἄσπρα, καί διδόναι ἐκ τούτων τούς ἐτησίους μισθούς τῶν διδασκάλων εὐγνωμόνως καί ἀνελλιπῶς, καί περιποιεῖσθαι καί τιμᾶν κατά τό εἰκός , καί φροντίζειν ὅλαις δυνάμεσι τῆς μετ᾽ ἐπιμελείας διδασκαλίας αὐτῶν καί παραδόσεως καί τῆς προκοπῆς καί ἐπιδόσεως τῶν φοιτώντων πρός αὐτούς μαθητῶν, καί ἔργον ἔχειν τήν συντήρησιν τοῦ κοινωφελοῦς τούτου ἔργου, καί καθ᾽ ἕκαστον ἔτος διδόναι καί ἀκριβῆ λογαριασμόν διά καθαροῦ καταστίχου περί πάντων τῶν ἐσόδων καί δαπανημάτων πρός τήν αὐτοῦ Ἱερότητα, καί τούς λοιπούς προκριτωτέρους τῶν χριστιανῶν, καί ἐπικυρωθέντα ἀποστέλλονται ἐνταῦθα πρός τό εὐλογημένον ἐσινάφιον τῶν γουναράδων μηδενός ἑτέρου ἱερωμένου ἤ λαϊκοῦ ἔχοντός ποτε ἐξετάζειν περί τῶν σχολῶν τούτων, μήτε ἀνερευνᾶν τά περί τῆς διοικήσεως αὐτῶν ἤ ἀποβολῆς καί ἀποκαταστάσεως διδασκάλων, ἀλλ᾽ ὑπό μόνου τοῦ εὐλογημένου ρουφετίου τῶν γουναράδων, καί τῆς ἀμέσου προστασίας τοῦ κατά καιρούς ἀρχιερέως διεξάγεσθαι τά τῶν σχολῶν τούτων, γίνεσθαί τε καί τάς ἀποκαταστάσεις τῶν διδασκάλων, καί τόν διορισμόν τῶν ἐτησίων αὐτῶν μισθῶν, καί τήν μετά σπουδῆς φροντίδα τῆς ἀνέσεως, καί τῆς ἐπιδόσεως τῶν μαθητῶν. Ὅς δ᾽ ἄν καί ὁ ὁποῖος τῶν χριστιανῶν μικρός ἤ μέγας νέος ἤ γέρων, εἴτε ἐκ τοῦ ἀρχιερατικοῦ ἤ Ἱερατικοῦ καταλόγου, εἴτε

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐκ τοῦ πολιτικοῦ συστήματος, τολμήσῃ [illegible] ποτέ διαπράξεσθαι τι παρά τά ἐν τῷδε διατεταγμένα, ἐπιχειρίσῃ κακοβούλως ἀνατρέψαι τάς συστηθείσας ταύτας κοινάς σχολάς, καί ἀποσπᾶσαι τήν ἀφιερωθεῖσαν αὐταῖς ποσότητα τῶν ἄσπρων, καί ἐπήρειαν ἢ βλάβην προξενῆσαι αὐταῖς τε καί τοῖς διωρισμένοις διδασκάλοις, καί ἐμμέσως ἢ ἀμέσως ἐπενεγκεῖν αὐτοῖς ζημίαν, ἢ ταραχήν καί σκάνδαλα ἐφ᾽οἰαδήποτε αἰτίᾳ καί προφάσει οἱ τοιοῦτοι ὁποῖοι ἄν ὦσιν ὡς κοινοβλαβεῖς καί πολέμιοι τῆς παιδείας καί ἀπαθεῖς τῶν ἐκκλησιαστικῶν ἡμῶν διατάξεων, ἀφωρισμένοι ὑπάρχωσιν ἀπό θεοῦ κυρίου παντοκράτορος, καί κατηραμένοι, καί ἀσυγχώρητοι, καί μετά θάνατον ἄλυτοι, καί τυμπανιαῖοι, καί πάσαις ταῖς πατρικαῖς καί συνοδικαῖς ἀραῖς ὑπεύθυνοι, καί ἔνοχοι τοῦ πυρός τῆς γεένης, καί τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι. Ταῦτα γοῦν ἀπεφάνθη καί κεκύρωται συνοδικῶς. Διό εἰς τήν περί τούτου ἔνδειξιν καί διηνεκῆ τήν ἀσφάλειαν ἀπελύθη τό παρόν ἡμέτερον πατριαρχικόν καί συνοδικόν συγγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθέν κἀν τῷ Ἱερῷ κώδικι τῆς καθ᾽ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἐδόθη εἰς τό εὐλογημένον ἐσνάφιον τῶν γουναράδων. Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ἐννάτῳ, κατά μῆνα Ἰούνιον ἐπινεμήσεως β΄ας

+ Νεόφυτος ἐλέῳ θεοῦ Ἀρχιεπίσκοπος Κων/πόλεως νέας Ῥώμης καί Οἰκουμενικός Πατριάρχης

Ὁ Ἐφέσου Δανιήλ — Ὁ Ἡρακλείας Μελέτιος.— Ὁ Κυζίκου Ἰωακείμ. —

Ὁ Νικομηδείας Ἀθανάσιος.— Ὁ Νικαίας Καλλίνικος.— Ὁ Θεσσαλονίκης Γερμανός, —

Ὁ Ῥόδου Ματθαῖος.— Ὁ Προύσης Ἄνθιμος.— Ὁ Σεβαστίας Ἡσαΐας.— Ὁ Ἀγκύρας Ἰωακείμ.— Ὁ Παροναξίας Νεόφυτος. —

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ